ος τὸν πρὸ ἑαυτοῦ· ὅς, καὶ τὸν Α
μετρήσει· ἅπας ἄρα σύνθετος
ἀριθμὸς ὑπὸ πρώτου τινὸς
ἀριθμοῦ μετρεῖται· ὅπερ ἔδει
δεῖξαι:~

λβ Ἅπας ἀριθμὸς ἤτοι πρῶτός ἐστιν
ἢ ὑπὸ πρώτου τινὸς ἀριθμοῦ
μετρεῖται· ἔστω ἀριθμὸς ὁ Α· λέγω ὅτι ὁ Α ἤτοι
πρῶτός ἐστιν ἢ ὑπὸ πρώτου τινὸς ἀριθμοῦ με-
τρεῖται· εἰ μὲν οὖν πρῶτός ἐστιν ὁ Α, γεγονὸς ἂν εἴη
τὸ ζητούμενον· εἰ δὲ σύνθετος, μετρή-
σει τις αὐτὸν πρῶτος ἀριθμός· ἅπας
ἄρα ἀριθμὸς ἤτοι πρῶτός ἐστιν ἢ ὑ-
πὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται·
ὅπερ ἔδει δεῖξαι:~

λγ Ἀριθμῶν δοθέντων ὁποσωνοῦν εὑ-
ρεῖν τοὺς ἐλαχίστους τῶν τὸν αὐτὸν λόγον ἐ-
χόντων αὐτοῖς· ἔστωσαν οἱ δοθέντες ὁποσοιοῦν
ἀριθμοὶ οἱ ΑΒΓ· δεῖ δὴ εὑρεῖν τοὺς ἐλαχίστους τῶν
τοὺς αὐτοὺς λόγους ἐχόντων τοῖς ΑΒΓ· οἱ ΑΒΓ
ἄρα ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ· εἰ μὲν
οὖν οἱ ΑΒΓ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἐλάχιστοί
εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· εἰ δὲ οὔ,
εἰλήφθω τῶν ΑΒΓ τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ,
καὶ ὁσάκις ὁ Δ ἕκαστον τῶν ΑΒΓ μετρεῖ, τοσαῦται
μονάδες ἔστωσαν ἐν ἑκάστῳ τῶν ΕΖΗ· καὶ ἕκαστος

ἄρα τῶν ΕΖΗ ἕκαστον τῶν ΑΒΓ μετρεῖ κατὰ τὰς ἐν τῷ Δ
μονάδας· οἱ ΕΖΗ ἄρα τοὺς ΑΒΓ ἰσάκις μετροῦ-
σιν· οἱ ΕΖΗ ἄρα τοῖς ΑΒΓ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν·
λέγω δὴ ὅτι καὶ ἐλάχιστοι· εἰ γὰρ μή εἰσιν οἱ ΕΖΗ ἐλάχι-
στοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς ΑΒΓ, ἔσονται
τῶν ΕΖΗ ἐλάσσονες ἀριθμοὶ ἐν τῷ αὐτῷ λό-
γῳ ὄντες τοῖς ΑΒΓ· ἔστωσαν οἱ ΘΚΛ· ἰσάκις ἄρα
ὁ Θ τὸν Α μετρεῖ καὶ ἑκάτερος τῶν ΚΛ ἑκάτερον
τῶν ΒΓ· ὁσάκις δὲ ὁ Θ τὸν Α μετρεῖ, τοσαῦται μο-
νάδες ἔστωσαν ἐν τῷ Μ· καὶ ἑκάτερος ἄρα τῶν ΚΛ
ἑκάτερον τῶν ΒΓ μετρεῖ κατὰ τὰς ἐν τῷ Μ μονάδας·
καὶ ἐπεὶ ὁ Θ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Μ μονάδας·
καὶ ὁ Μ ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Θ μονάδας·
διὰ τὰ αὐτὰ δὴ ὁ Μ καὶ ἑκάτερον τῶν ΒΓ μετρεῖ κα-
τὰ τὰς ἐν ἑκατέρῳ τῶν ΚΛ μονάδας· ὁ Μ ἄρα τοὺς
ΑΒΓ μετρεῖ· καὶ ἐπεὶ ὁ Θ τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Μ
μονάδας· ὁ Θ ἄρα τὸν Μ πολλαπλασιάσας τὸν Α
πεποίηκεν· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Ε τὸν Δ πολλαπλα-
σιάσας τὸν Α πεποίηκεν·
ἴσος ἄρα ἐστὶν ὁ ἐκ τῶν ΕΔ
τῷ ἐκ τῶν ΘΜ· ἔστιν ἄρα
ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ
Μ πρὸς τὸν Δ· μείζων δὲ ὁ
Ε τοῦ Θ· μείζων ἄρα καὶ ὁ Μ
τοῦ Δ· καὶ μετρεῖ τοὺς ΑΒΓ· ὅ-
περ ἐστὶν ἀδύνατον· ὑπό-



